τούτων· τοῦτο ἀποστρέφει τὴν γλῶτταν· ἐμφράττει τὸ στόμα· ἄγχει· σιωπᾶν ποιεῖ. τὸ τοίνυν τελευταῖον, ἴσε δήπου πρώην ἐν Πειραιεῖ, ὅτ' αὐτὸν οὐκ εἰᾶτε πρεσβεύειν, βοᾷν ἃ εἰσαγγελεῖ με, καὶ γράψειν, κἀγὼ ἰὼ ἰώ. καίτοι ταῦτα μὲν ἐστι μακρῶν καὶ πολλῶν ἀγώνων καὶ λόγων ἀρχή, ἐκεῖνα δ' ἁπλᾶ, καὶ δύ' ἢ τρία ἴσως ῥήματα, ἃ κἂν ἐχθὲς ἐωνημένῳ ἀνθρώπῳ εἰπεῖν δυνηθείη· ἄνδρες Ἀθηναῖοι, τοῦτ' τὸ πρᾶγμα πάνδεινόν ἐστιν. ὅτοσὶ κατηγορεῖ ταῦτα ἐμοῦ, ὧν αὐτὸς κοινωνὸς γέγονε, καὶ χρήματα εἰληφέναι φησὶν ἐμέ, αὐτὸς εἰληφὼς, ἢ μᾶλλον εἰληφώς. τούτων μὲν τοίνυν οὐδὲν εἶπεν, οὐδ' ἐφθέγξατο, οὐδ' ἤκουσεν ὑμῶν οὐδείς· ἄλλα δ' ἠπείλει. διὰ τί; ὅτι ταῦτα μὲν αὐτῷ συνήδει πεπραγμένα, ὁ δοῦλος

primit, obturat os, angit, silentium imponit. postremum autem illud profecto nostis, eum, cum nuper legatum ire non sineretis, clamitasse, diem se mihi dicturum apud senatum, et accusaturum, et heu, heu. atqui illa sunt longorum et multorum certaminum atque orationum exordia, haec autem simplicia, et duo aut tria circiter verba, quae vel heri emptum mancipium proferre posset: Athenienses, negocium hoc perindignum est. iste me earum rerum accusat, quarum ipse socius fuit, et pecuniam accepisse me dicit, cum ipse acceperit, aut in partem venerit. horum quidem nihil dixit, nec locutus est, nec ex eo quisquam vestrum audiuit, sed alia minitabatur. quamobrem? quod ea a se esse facta sibi conscius erat, et haec verba seruiliter reformidabat.

ἦν τῶν ῥημάτων τούτων. ἔκοπτε τοίνυν τὴν γνώμην οὐκ ἐπὶ τούτοις ἡ διάνοια, ἀλλ' ἀνεδύετο. ἐπέλαμπε γὰρ αὐτοῖς τὸ συνειδέναι· λοιδορεῖσθαι δ' ἄλλα ἅπαντα ἐξῆν, καὶ οὐδεὶς ἐκώλυεν αὐτὸν, οὐδὲ βλασφημεῖν.

κη. Ὁ τοίνυν μέγιστον ἁπάντων, καὶ οὐ λόγος ἀλλ' ἔργον ἤδη. βούλομαι γὰρ ἐμοῦ τὰ δίκαια, ὥσπερ ἐπρέσβευσα δὶς, οὕτω καὶ λόγον ὑμῖν δοῦναι δὶς, οὐσελθὼν Αἰσχίνης οὑτοσὶ τοῖς λογισταῖς, ἔχων μάρτυρας πολλοὺς, ἀπηγόρευε μὴ καλεῖν ἐμὲ εἰς τὸ δικαστήριον, ὡς δεδωκότα δύθυνας, καὶ οὐκ ὄντα ὑπόδυνον. καὶ τὸ πρᾶγμα ἦν ὑπεργέλοιον. τί οὖν ἦν τοῦτο; τὸ προέρας ἐκείνης πρεσβείας, ἧς οὐδεὶς κατηγόρει, δὺς λόγον, οὐκ ἐβούλετο αὖθις εἰσιέναι πρὸς ταύτης, ἧς νυνὶ εἰσέρχεται, ἐν ᾗ πάντα τὰ ἀδικήματα ἐστὶν· ἐν ᾗ δ' δὶς ἐμὲ

dabat. non igitur eo accedebat animus, ſed reſiliebat. retrahebatur enim a conſcientia; alia vero quaedam conuiciari, nemo eum prohibebat, et maledicere.

§. 28. Quod autem est maximum omnium, et non verba iam, ſed res ipſa, cum ego vellem, quod aequum erat, vt bis legatus ieram, ſic bis reddere vobis rationem, Aeſchines multis testibus adductis, ad rationum magistros acceſſit, meque vocari in praetorium vetuit, vt qui rationem reddidiſſem, nec postulari poſſem. et res fuit perquam ridicula. quae igitur illa fuit? cum de priore legatione rationem reddidiſſet quam nemo accuſabat, nolebat denuo in ius venire de hac, qua nunc reus agitur, in qua omnes iniuriae ineſſent: quod autem ego me bis ſiſtebam, ex eoque et ipſi neceſſi-

tas

εἰσελθεῖν, ἀνάγκη ἦν αὐτὸν καὶ τούτῳ πάλιν εἰσιέναι. διὰ ταῦτα οὐκ εἴα καλεῖν. καί τοι τοῦτο τὸ ἔργον, ὦ ἄνδρες Ἀθηναῖοι, ἀμφότερ' ὑμῖν ἐπιδείκνυσι σαφῶς, καὶ κατεγνωκότα ἑαυτοῦ τοῦτον, ὡς τε μηδενὶ νῦν ὑμῶν δύσεβῶς ἔχειν ἀποψηφίσασθαι αὐτόν· καὶ μηδὲν ἀληθὲς ἐρεῖν περὶ ἐμοῦ. εἰ γὰρ εἶχε, τότ' ἂν κἀγὼ λέγων, καὶ κατηγορῶν ἐξηύξετο· οὐ, μὰ Δία, οὐκ ἀπηγόρευε καλεῖν. ὡς τοίνυν ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

κθ. Ἀλλὰ μήν, ἐάν γέ τι ἔξω τοῦ πρεσβείας βλασφημῇ περὶ ἐμοῦ, κἀγὼ πολλὰ οὐκ ἂν εἰκότως ἀκούοιτε αὐτοῦ· ὁ γὰρ ἐγὼ κείνομαι τήμερον, οὐδ' ἐγχεῖ μοι ταῦθ' ὕδωρ οὐδεὶς ἐμοί. τί οὖν ἔστι ταῦτα, πλὴν δικαίων λόγων ἀπο-

tas imponebatur, se denuo sistendi. propterea citari me non sinebat. id autem factum, Athenienses, vtrumque vobis ostendit aperte, tum istum semetipsum damnasse, vt iam nemo vestrum eum sine impietate possit absoluere; tum nihil de me veri dicturum. si enim habuisset, ibi et dicendo et accusando protulisset; non medius fidius citari vetuisset. hoc a me vere dici vt constet, voca mihi huius rei testis. TESTES.

§. 29. Iam si quae in me conuicia extra legationem dixerit, multis nominibus eum audire non debebitis; non enim ego sum hodie reus, neque deinceps mihi quisquam infundet aquam. quid igitur aliud illa sunt, quam iustarum rationum inopia? quis enim accu-

εία; τίς γὰρ ἂν κατηγορεῖν ἕλοιτο κεινόμῳ, ἔχων ὅ, τι ἀπολογήσε̣ται; ἔτι τοίνυν κἀκεῖνο σκοπεῖτε, ὦ ἄνδρες δικασταί. εἰ ἐκεινόμην μὲν ἐγὼ, κατηγόρει δὲ Αἰσχίνης ὑτοσὶ, Φίλιππος δ' ἦν ὁ κείνων, εἶτα ἐγὼ μηδὲν ἔχων εἰπεῖν ὡς οὐκ ἀδικῶ, κακῶς ἔλεγον τυτονὶ, κ̀ προπηλακίζειν ἐπεχείρουν· οὐκ ἂν οἴεσθε ⸌ κατ' αὐτὸ τοῦτο ἀγανακτῆσαι τὸν Φίλιππον, εἰ παρ' ἐκείνῳ τοῦ ἐκείνου τίς εὐεργέτας κακῶς λέγει; μὴ τοίνυν ὑμεῖς χείρους γένησθε Φιλίππου, ἀλλ' ὑπὲρ ὧν ἀγωνίζε̣ται, τοῦτων ἀναλήπτορας ἀπολογείας. λέγε μοι τὴν μαρτυρίαν. ΜΑΡΤΥΡΙΑ.

λ. Οὐκοῦν ἐγὼ μὲν ἐκ τ̣ῦ μηδὲν ἐμαυτῷ συνειδέναι δεινὸν, κ̀ λόγον διδόναι, ⸌ πάντα τὰ ἐκ τῶν νόμων ὑπέχειν ᾤμην δεῖν· ὑτοσὶ

accuſare velit, dum reus agitur, ſi, quo ſe defenderet, haberet? illud etiam conſiderate, iudices, ſi ego ipſe reus eſſem, et Aeſchines accuſaret, Philippus autem eſſet iudex, atque ego non negare poſſem me deliquiſſe, ſed isti maledicerem et eum exagitare inſtituerem: nonne putatis illud ipſum aegre laturum Philippum, ſi quis apud eum hominibus de ipſo benemeritis malediceret? ne igitur vos deteriores ſitis Philippo, ſed ad ea reſpondere eum cogite, quorum accuſatur. recita teſtimonium. TESTIMONIVM.

§. 30. Ego igitur integritatis meae conſcientia fretus, et rationem reddendam, et quae legibus iubentur, praeſtanda omnia ducebam: iſte contra. quare qui fieri potest, vt in eodem

ἢ ταὐναντία. πῶς οὖν ταὐτὰ ἐμοὶ καὶ τούτῳ ταῦτα πέπρακε; ἢ πῶς ἔνεστι τούτῳ ταῦτα πρὸς ὑμᾶς λέγειν, ἃ μηδ' ἠτιᾶτο πρότερον πώποτε; ἀδαμῶς δήπου. ἀλλ' ὅμως ἐρεῖ, καὶ νὴ Δί' εἰκότως γε. ἴστε γὰρ δήπου τοῦθ', ὅτι ἀφ' ὧν γεγόνασιν ἄνθρωποι, καὶ κρίσεις γίνονται, οὐδεὶς πώποθ' ὁμολογῶν ἀδικεῖν, ἑάλω· ἀλλ' ἀναισχυντοῦσιν, ἀρνοῦνται, ψεύδονται, προφάσεις πλάττονται, πάντα ποιοῦσιν, ὑπὲρ ὧν μὴ δοῦναι δίκην. ὧν οὐδενὶ δεῖ προσκρουσθῆναι σήμερον ὑμᾶς, ἀλλ' ἀφ' ὧν ἴστε αὐτοί, τὰ παράγματα κρίναι, μὴ τοῖς ἐμοῖς λόγοις, μηδὲ τοῖς τούτου προσέχειν, μηδέ γε τοῖς μάρτυσιν, οὓς οὗτ' ἑτοίμους ἕξει μαρτυρεῖν ὁποιῳοῦν, Φιλίππου χορηγοῦντος· ὄψεσθε δ' ὡς ἑτοίμως αὐτοῖς μαρτυρήσουσι. μηδέ γε εἰ καλὸν

eodem negocio ego et iste fecerimus eadem? aut qui convenit isti nunc apud vos ea dicere, quorum me antea nunquam insimulauit? nequaquam certe. sed tamen dicet, nec mehercule iniuria. scitis enim vtique hoc, ex quo nati sunt homines, et iudicia exercentur, neminem vnquam, qui crimen fateretur, esse condemnatum; sed frontem perfricant, negant, mentiuntur, causas comminiscuntur, omnia faciunt ne poenas luant. quarum rerum nulla vos oportet hodie decipi, sed ex vestrapte conscientia de causa iudicare, non meis aut istius credere sermonibus aut testibus, quos iste paratos habebit ad quiduis testificandum, Philippo praebitore vtens: videbitis autem, quam pro eo sint expedite dicturi

ς μέγα οὖς φθέγξῃ, μηδ' εἰ φαῦλον ἐγώ. οὐ γὰρ ῥητόρων, οὐδὲ λόγων κείσιν ὑμᾶς τήμερον, εἴπερ οὖ φρονεῖτε, σωφρονεῖν· ἀλλ' ὑπὲρ πραγμάτων αἰσχρῶς καὶ δεινῶς ἀπολωλότων, τοῖς ὑπάρχουσιν αἰσχύνην εἰς τοὺς αὐτοὺς ἀπώσασθε, τὰ πεπραγμένα ἀνάπυστοι ἐξετάσοντες. τίνα οὖν ἐστι ταῦτα; ἃ ὑμεῖς ἴστε, καὶ ὁ παρ' ἡμῶν ὑμᾶς ἀκοῦσαι δεῖ. εἰ μὲν γὰρ ἄπορα, ὅσα ὑπέσχεθ' ὑμῖν, ἐπὶ τῇ εἰρήνης γέγονε, καὶ τοσαύτης ἀνανδρίας καὶ κακίας ὁμολογεῖτε ὑμεῖς εἶναι μέσοι, ὡς τε μήτε ἐν τῇ χώρᾳ τῶν πολεμίων ὄντων, μήτε ἐπὶ θαλάττης πολιορκέμενοι, μήτε ἐν ἄλλῳ μηδενὶ δεινῷ τῆς πόλεως ὄντες, ἀλλὰ καὶ σῖτον δώνου ὠνούμενοι, καὶ τἆλλα ὁδὲν χεῖρον πράττοντες ἢ νῦν, πρειδότες καὶ πραακη-

cturi testimonium. neque illud etiam vos moueat, ſi vox illius clara et magna est, mea vero tenuior. neque enim de oratoribus, aut orationibus, ſi ſapitis, iudicium hodie facietis: ſed ignominiam propter res flagitioſe et ſcelerate perditas, ſuſceptam in auctores retorquebitis, negociis, quae omnes nostis, examinatis. quae igitur illa ſunt? quae vos ſcitis, neque opus est, ea vos e nobis audire. nam ſi ea, quae vobis pollicitus est, omnia pacem ſequuta ſunt, tantaque ignauia et timiditate vos eſſe refertos fatemini, vt, (cum in agro nostro nulli hostes verſarentur, cum neque mari oppugnaremur, neque vlla alia calamitas reipublicae accidiſſet, ſed et annona parui emeretur, et nihilo peius quam nunc vobiſ-

κοότες ωδὲ τότων, ἢ σὺ συμμάχοις ἀπολωμένοις, ⸌ Θηβαίοις ἰσχυρὰς γιγνομένας, ἢ τὰ ἐπὶ Θρᾴκης Φίλιππον λημόμενον, ἢ τὰ ἐν Εὐβοίᾳ καταστιβαδησόμενα ὁρμητήρια ἐφ' ὑμᾶς, ἢ πάντα ἃ πέπρακται γιγνόμενα· εἶτα τῇ εἰρήνῃ ἐποιήσασθε ἀσπλῶς, ἀπεψηφίσασθε Αἰσχίνου, ἢ μὴ ωρὸς τοσούτοις αἰσχροῖς, ἢ ἀπορίαν ωροσκτήσασθε. οὐδὲν γὰρ ὑμᾶς ἀδικεῖ, ἀλλ' ἐγὼ μαίνομαι, καὶ τετύφωμαι, νυνὶ κατηγορῶν αὐτοῦ. εἰ δ' ἅπαντα τοὐναντία τούτων, ἢ πολλὰ, ἢ φιλάνθρωπα εἰπόντες, Φίλιππον φιλεῖν τὴν πόλιν, Φωκέας σώσειν, Θηβαίους παύσειν τῆς ὕβρεως, ἔτι ωρὸς τούτοις μείζονα ἢ κατ' Ἀμφίπολιν ὧν ποιήσειν ὑμᾶς, ἂν τύχῃ τὰ εἰρηνικὰ, Εὔβοιαν, Ὠρωπὸν ἀποδώσειν· εἰ ταῦτ' εἰπόντες ἢ ὑπω-

cum ageretur, etſi praeſciſſetis, atque ex istis prius audiſſetis, et ſocios perituros, et Thebanos potentis fore, et Thraciam Philippum occupaturum, et in Euboea caſtella extructum iri ad vos oppugnandos, et omnia quae facta ſunt futura eſſe) tamen cupide facturi pacem fueritis, abſoluite Aeſchinem, nec cum tot flagitiis periurium coniungite. neque enim vobis iniuriam facit, ſed ego inſanio, et ſum attonitus, qui eum nunc accuſem. ſin omnia horum contraria, et multa et benigna locuti, Philippum bene velle reipublicae, Phocenſis conſeruaturum, Thebanorum inſolentiam repreſſurum, quin vltra haec maiora in vos quam quae cum Amphipoli conferenda ſint, collaturum, ſi pacem impetraſſet, Euboeam, Oropum redditurum: ſi haec, inquam, locuti,

χόμενοι, πάντα ἐξηπατήκασι, καὶ πεφενακίκασι, καὶ μόνον οὐ τὴν Ἀττικὴν ὑμῖν παρῄρηνται, καταψηφίσασθε, καὶ μὴ πρὸς τοῖς ἄλλοις οἷς ὕβρικασθε· ἐγὼ γὰρ ἔγωγ' οἶδ' ὅ, τι χρὴ λέγειν ἄλλο· καὶ ὑπὲρ ὧν ἅπαντες δεδωροδοκήκασιν, ὑμεῖς τὴν χώραν καὶ τὴν ἐπιορκίαν οἴκαδε ἀπενέγκησθε.

λα. Ἐπὶ τοίνυν καὶκεῖνο σκοπεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, τίνος ἕνεκα ἐγὼ μηδὲν ἠδικηκότων τούτων κατηγορεῖν ἂν προαιροῦμαι. οὐ γὰρ δύσεσθε. ἡδὺ πολλοὺς ἐχθροὺς ἔχειν; ἀλλ' οὐκ ἀσφαλές. ἀλλ' ὑπῆρχέ μοι πρὸς τοῦτον ἀπέχθειά τις; ἀδεμία. τί οὖν; ἐφοβοῦ μὴ σεαυτοῦ, καὶ διὰ δειλίαν, ταύτην ἡγήσω σωτηρίαν; καὶ γὰρ ταῦτα ἀκήκοα αὐτὸν λέγειν· καί τοι, μηδενὸς ὄντος, Αἰσχίνη, δεινοῦ, μηδὲ ἀδικήματος ὡς σὺ φῄς. εἰ γὰρ αὖ ταῦτ' ἐρεῖ, σκο-

locuti et polliciti, omnia fefellerunt, si fucum vobis fecerunt, si vobis tantum non Atticam eripuerunt, condemnate, neque ad alias factas vobis contumelias (neque enim ego scio quo illa nomine alio appellanda sint) propter istorum corruptelas, vos diras et periurium domum reportate.

§. 31. Iam illud etiam considerandum, Athenienses, quanam ego de causa istos, insontes si essent, accusare instituissem. nullam enim reperietis. num suaue est, multos habere inimicos? imo ne tutum quidem. at cum isto aliqua mihi simultas intercedebat? nulla. quid igitur? de te ipse pertimueras, et propter metum hoc tibi saluti fore putabas? hoc enim eum dicere audiui: at nihil erat periculi, Aeschine, nihil peccatum erat, vt tu ais. nam si haec dicet, considerate,

πεῖτε, ὦ ἄνδρες δικασταί, εἰ ἐφ' οἷς ὁ μηδοδοκῶν ἀδικῶν ἐφοβούμην ἐγώ, μὴ διὰ τούτους ἀπόλωμαι, τί τούτοις προσήκει παθεῖν, τὸς αὐτὸς ἠδικηκότας; ἀλλ' ὁ διὰ ταῦτα, ἀλλὰ διὰ τί σε κατηγορῶ; συκοφαντῶ νὴ Δία, ἵνα ἀργύριον λάβω παρὰ σοῦ. καὶ πότερον κρεῖττον ἦν μοι, παρὰ Φιλίππου λαβεῖν ἐξ διδόντος πολὺ, ἢ μηδενὸς τούτων ἔλαττον, καὶ φίλον κἀκεῖνον ἔχειν καὶ τούτους· ἦσαν γὰν ἂν, ἦσαν φίλοι μοι τῶν αὐτῶν κεκοινωνηκότι, νῦν δ' ἐγὼ νῦν ἔχθραν παρειλῆφα ἔχουσι πρὸς ἐμὲ, ἀλλ' ὅτι τῶν πεπραγμένων ὁ μετέσχηκα· ἢ παρὰ τούτων ἀφ' ὧν εἰλήφασι, μεταιτεῖν, κἀκείνῳ τε ἐχθρὸν εἶναι ἢ τούτοις; καὶ σοῦ μὲν αἰσχαλώτους ἐκ τῶν ἰδίων τοσούτων χρημάτων λύσασθαι, μικρὰ δ' ἀξιοῦν παρὰ τούτων αἰσχρῶς μεταλαβεῖν;

iudices, si acta eiusmodi fuerunt, vt ego prorsus insons timerem ne propter istos mihi pereundum esset, quo pacto eos tractari conueniat, qui ipsi deliquerunt? verum non propter haec, sed cur te accuso? per calumniam nimirum, vt abs te nummos extorqueam. vtrum autem praestabilius mihi fuisset, a Philippo accipere multum largiente, et nemine istorum minus, et amicum etiam illum habere, et istos (essent enim, essent amici mihi, si in earundem rerum societatem veniissem; neque enim nunc paternas inimicitias exercent mecum, sed propter actorum communitatem recusatam) an ab istis aliquid de acceptis emendicantem, tum illius, tum istorum susscipere inimicitias? cum captiuos priuatis sumptibus tanti redemerim, pauca turpiter ab istis velle

βάνειν; οὐκ ἔστι ταῦτα. ἀλλ' ἀπήχθεια μὲν τἀληθῆ, καὶ ἀπεχόμενον τοῦ λαβεῖν, καὶ δικαίου, καὶ τῆς ἀληθείας ἕνεκα, καὶ τοῦ λοιποῦ βίου, νομίζων, ὥσπερ ἄλλοι τινὲς παρ' ὑμῖν, καὶ αὐτὸς, ὢν ἐπιεικὴς, τιμηθήσεσθαι, καὶ οὐκ ἀνταλλακτέον εἶναί μοι τὴν πρὸς ὑμᾶς φιλοτιμίαν, ἀδένος κέρδους. μισῶ δὲ τούτους, ὅτι μοχθηροὺς καὶ θεοῖς ἐχθροὺς εἶδον ἐν τῇ πρεσβείᾳ, καὶ ἀπεσέβημαι καὶ τῶν ἰδίων φιλοτιμιῶν, διὰ τὴν τούτων δωροδοκίαν, πρὸς ὅλην δυσχερῶς ὑμῖν τὴν πρεσβείαν ἐχόντων. κατηγορῶ ὅ νυνὶ, καὶ ἐπὶ τὰς εὐθύνας ἥκω, τὸ μέλλον προορώμενος, καὶ βουλόμενος ἀγῶνι καὶ δικαστηρίῳ μοι διωρίσαι παρ' ὑμῖν, ὅτι ταὐτοπία ἐμοὶ καὶ τούτοις πέπρακται. καὶ δέδοικα, δέδοικα· εἰρήσεσθαι γὰρ, ὦ ἄνδρες δικασταὶ, πρὸς ἃ φρονῶ πρὸς

velle capere et per ſimultatem? non ita ſunt haec. ſed et vera renunciaui, et a corruptelis abstinui, propter iustitiam et veritatem et vitam reliquam, existimans fore, vt mihi, quemadmodum et aliis quibuſdam apud vos, ſi bonus vir eſſem, honos haberetur, neque commutandum eſſe mihi vestri studium vllo emolumento. istos autem odi, quod improbos eſſe, et ſacrilegos, in legatione animaduerti, et per istorum corruptelas, etiam priuato meo honore ſum ſpoliatus, cum vos toti legationi ſuccenſeretis. accuſo autem nunc, et rationem reddi postulo, propter curam rerum futurarum, et lite iudicioque declarari volo apud vos, ea quae a me et ab istis facta ſint, inter ſe pugnare omnia. et vereor, vereor (dicam enim iudices, quicquid ſentio, apud vos) ne tum me quoque

ὑμᾶς· μὴ τότε μὲν τούτοις συνεπαπάσησθέ με τὸν μηδενὸς ἀδικοῦντα, νυνὶ δὲ ἀναπεπωκότες ἦτε. πανταπασι γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἐκλελυσθαί μοι δοκεῖτε, καὶ παθεῖν ἀναμένειν τὰ δεινά· ἑτέρους δὲ πάσχοντας ὁρῶντες οὐ φυλάττεσθε, οὐδὲ φρουτίζετε τῆς πόλεως πάλαι καὶ πολλοὺς καὶ δεινοὺς τρόπους ἀδικουμένης. οὐκ οἴεσθε δεινὸν εἶναι καὶ ὑπερφυές; καὶ γὰρ εἴ τι σιωπᾷν ἐγνώκειν, νυνὶ λέγειν ἐξάγομαι. ἴστε δήπου Πυθοκλέα τουτονὶ, τὸν Πυθοδώρου. τούτῳ πάνυ φιλανθρώπως ἐκεχρήμην ἐγώ. καὶ οὐδὲν ἐμοὶ καὶ τούτῳ γέγονεν εἰς τοῦτο ἡμέραν ταυτηνί. οὗτος ἐντρέπεταί με νυνὶ ἀπαντῶν, ἀφ' οὗ πρὸς Φίλιππον ἀφῖκται. κἂν ἀναγκασθῇ τοῦ συντυχεῖν, ἀπεπήδησεν εὐθέως, μή τις αὐτὸν ἴδῃ

quoque eodem cum istis reti implicetis, criminis omnis expertem, nunc autem nimium sitis negligentes, et supini. prorsus enim, Athenienses, dissoluti mihi esse videmini, et eo vsque differre seueritatem, dum in mala incidatis; quibus dum alios conflictari videtis, non cauetis, neque mouemini, tametsi respublica multis iamdiu, et diris modis laedatur. an non graue ac pene incredibile videtur esse vobis? etsi enim aliquid reticere statueram, nunc tamen facere non possum quin eloquar. nostis vtique Pythoclem istum, Pythodori filium. cum eo ego coniunctissime vixi. neque vlla inter me et illum in hunc vsque diem exstitit offensio. is nunc deuitat occursum meum, ex quo ad Philippum profectus fuit. et sicubi mecum congredi necesse habet, resilit statim,

λαλοῦντα ἐμοί· μὴ ὁ Αἰσχίνης παρέρχεται τὴν ἀγορὰν κύκλῳ, καὶ βουλεύεται, καὶ σκοπεῖ. ὀκνῶ δεινὸν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ σχέτλιον, τοῖς μὲν τὰ Φιλίππου πεφάγμαθ' ἡρημένοις θεραπεύειν, ὅτως ἀκριβῆ τὴν παρ' ἐκείνου πρὸς ἑκάτερα αἴσθησιν ὑπάρχειν, ὥστε ἕκαστον ὑποπτεύειν παρεσκευότα ἀπὸ, μηδ' ὧν ἂν ἐνθάδε πράξῃ, μηδὲν ἡγεῖσθαι λήσειν, ἀλλὰ φίλους τε νομίζειν οὓς ἂν ἐκείνῳ δοκῇ, καὶ μὴ φίλους ὡσαύτως· τοῖς δὲ πρὸς ὑμᾶς ζῶσι, καὶ τὰ παρ' ὑμῖν τιμῆς γλιχομένοις, καὶ μὴ πεφθεγγόσι ταύτῃ, τοσαύτην κωφότητα καὶ τοσοῦτο σκότος παρ' ὑμῖν ἁπανταχοῦ, ὥστε τοῖς ἀληθείοις τούτοις ἐξίσου νυνὶ ἐμὲ ἀγωνίζεσθαι, καὶ ταῦτα παρ' ὑμῖν, τοῖς ἅπαντα εἰδόσι. βούλεσθε οὖν εἰδέναι καὶ ἀκοῦσαι τὸ τούτων αἴτιον;

tim, ne se quis mecum videat colloquentem: cum Aeschine autem circunquaque obit forum, et deliberat, et meditatur. peracerbum profecto est, Athenienses, et indignum, in eos qui colere Philippum instituerunt, adeo excitatos eius in vtranque partem esse sensus, vt quisque putet, tanquam eo semper assistente, ne vllum quidem suum hic factum clam fore, sed et amicos existiment, qui illi placuerint, et inimicos similiter: iis autem qui ad nutum vestrum viuunt, et honorem a vobis expetunt, eumque nullo emolumento commutatum volunt, tantum surditatis, et tantum tenebrarum a vobis occurrere, vt ego nunc ex aequo cum nefariis istis dimicem, idque apud vos, quibus nota sunt omnia. vultis igitur nosse et audire huius rei causam? dicam equidem. peto autem

ἐγὼ δὴ φράσω, ἀξιῶ ὑμᾶς μηδὲν ἀχθεσθαί μοι λέγοντι ταληθῆ. ὅτι ἐκεῖνος μὲν ἓν, οἶμαι, σῶμα ἔχων καὶ ψυχὴν μίαν, πάντι θυμῷ καὶ φιλεῖ τοὺς ἑαυτὸν εὖ ποιοῦντας, καὶ μισεῖ τοὺς τἀναντία· ὑμῶν δ' ἕκαστος πρῶτον μὲν, ὅτε τὸν εὖ ποιοῦντα τὴν πόλιν, αὐτὸν εὖ ποιεῖν ἡγεῖται, ὅτε τὸν κακῶς, ἀλλ' ἕτερά ἐστιν ἑκάστῳ πρεσβυτέρα, ὑφ' ὧν ἀπάγεσθε πολλάκις, ἔλεος, φθόνος, ὀργὴ, χαρίσασθαι τῷ δεηθέντι, ἄλλα μυρία. ἂν γὰρ ἅπαντά τις ἐκφύγῃ τἆλλα, τύς γε ὀδένα βουλομένοις εἶναι ῥᾴστον, οὐ διαφεύξεται. ἡ δ' ἐφ' ἑκάστῳ τούτων ἁμαρτία, κατ' μικρὸν ὑπορρέουσα, ἀθρόως τῇ πόλει βλάβη γίνεται. ὧν μηδὲν, ὦ ἄνδρες Ἀθηναῖοι, πάσχητε σήμερον, μηδ' ἀνῆτε τοῦτον, ὃς ὑμᾶς τηλικαῦτα ἠδίκηκε. καὶ γὰρ ὡς ἀλη-

autem, ne quid dicenti mihi verum ſuccenſeatis. ille vnum habet corpus et vnum animum, toto pectore et amat bene de ſe merentis, et odit aduerſarios: vestrum autem ſinguli, primum nec bene merentis de republica, bene de ſe mereri putant, nec male merentis, ſed alia ſingulis maiori curae ſunt, per quae ſaepe abducimini ab officio, vt miſericordia, inuidia, iracundia, ſupplicibus gratificando, aliis rebus infinitis. nam vt alia effugias omnia, nunquam tamen eos effugies, qui neminem talem eſſe velint. at ſingulatim ita commiſſa delicta, paulatim progreſſa, vniuerſe tandem cedunt in reipublicae detrimentum. quale nihil hodie vobis committendum eſt, Athenienſes, nec dimittendus is, qui tantis vos affecit iniuriis. quaeſo enim vos, qui de vobis ferme-

ϑῶς τίς ἔσαι λόγ@ πρὶ ὑμῶν, εἰ τοῦτον ἀφήσετε; Αθηνήθεν ἐπρέσβευσάν τινες ὡς Φίλιππον τοῦδνὶ, Φιλοκράτης, Αἰσχίνης, Φρύνων, Δημοσθένης. τί ἦν; ὁ μὲν, πρὸς τῷ μηδὲν ὠφ τ πρεσβείας λαβεῖν, τὰς αἰχμαλώτους ὠφ τῶν ἰδίων ἐλύσαϑ· ὁ ὃ, ὧν τὰ τῆς πόλεως πράγματα χρημάτων ἀπέδοτο, τούτων πόρνας ἠγόραζε, ϗ ἰχθῦς πρωϊών. κὴ ὁ μὲν, τὸν υἱὸν ἔπεμψε Φιλίππῳ πρὸν εἰς ἡλικίας ἐγγράψαι, ὁ μιαρὸς Φρυνών· ὁ δ' ἰδὲν ἀνάξιον οὔτε τ πόλεως, ὅτε αὐτῷ διεπράξαϑο. κὴ ὁ μὲν, χορηγῶν καὶ τριηραρχῶν ἔτι καὶ ταῦτ' ὤφελο δεῖν ἐθελοντὴς ἀναλίσκειν, λύεϑ τοὺς αἰχμαλώτους, μηδένα ὠν συμφορᾷ τῷ πολιτῶν δι' ἔνδειαν πρεσορᾶν· ὁ δὲ, τοσούτ δεῖ τῶν ὑπαρχόντων τινὰ αἰ-

sermones erunt, si istum absoluetis? Athenis legati ad Philippum iuerunt quidam, Philocrates, Aeschines, Phryno, Demosthenes. quid tum? hic, praeterquam quod nihil ex legatione accepit, captiuos priuatis sumptibus redemit: ille, qua pecunia vendiderat negocia ciuitatis, ea passim scorta emit, et piscis. et sceleratus ille Phryno filium ad Philippum misit, antequam in album virorum inscriberetur: Demosthenes nihil vel republica, vel se indignum fecit. atque idem, cum et aedilitates obiret, et triremis instrueret, etiam hos sumptus vltro faciendos existimauit, vt captiuos redimeret, neque vllum ciuivm propter egestatem in aerumna esse pateretur: ille, tantum abfuit vt vllum de suo captiuum redimeret, vt totam prouinciam et amplius decies

χμάλωτον σῶσαι, ὥσθ' ὅλην τόπον, ἢ πλείους ἢ μυρίους μὲν ὁπλίτας, ὁμοῦ δ' ἢ πλείους ἢ χιλίους ἱππέας τῶν ὑπαρχόντων συμμάχων, ὅπως αἰχμάλωτοι γένωνται Φιλίππῳ, συμπαρεσκεύασε. τί οὖν μετὰ ταῦτα; Ἀθηναῖοι λαβόντες· ἦδεσαν μὲν γὰρ πάλαι· τί δέ; τοὺς μὲν χρήματα εἰληφότας, καὶ δῶρα, καὶ καταισχύναντας ἑαυτοὺς, τὴν πόλιν, τοὺς ἑαυτῶν παῖδας, ἀφίεσαν, καὶ νοῦν ἔχειν ἡγοῦντο, καὶ τὴν πόλιν εὐθηνεῖσθαι. τὸν δὲ κατηγορήσαντα τί; ἐμβεβρυκηκέναι, τὴν πόλιν ἀγνοεῖν, ὅτι ἔχειν ὅποι τὰ ἑαυτοῦ ῥίπτοι. καὶ τίς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο ἰδὼν τὸ παράδειγμα, δίκαιον αὐτὸν παρασχεῖν ἐθελήσει; τίς δωρεὰν πρεσβεύσει; εἰ μήτε λαβεῖν, μήτε τῶν εἰληφότων ἀξιοπιστότερον παρ' ὑμῖν εἶναι δοκεῖν ὑπάρξει; ὥστε

mille milites probe instructos, et ſimul pluris mille equitibus e nostris ſociis, vt captiui Philippi fierent, adiutor fuerit. quid igitur ſecutum est? Athenienſes, cum is eſſet in iudicium adductus, olim norant. quid autem? eos qui pecuniam acceperant, et munera, qui probris affecerant ſemetipſos, rempublicam, ſuos liberos, dimiſerunt, eos tum ſapere, tum bene actum iri cum republica putarunt. de accuſatore autem quid? eſſe attonitum, ignorare ingenium ciuitatis, non habere quo ſuos nummos abiiciat. ecquis, Athenienſes, in hoc exemplum intuens, iustum ſe praebere volet? quis gratis agere legatum? ſi nec accipere, nec quam ii qui acceperint, plus apud vos inuenire fidei licebit? quare non modo iudicium

οὐ μόνον κείνεσε τότους πήμεραν, ὦ· ἀλλὰ καὶ νόμον τότοις πίθεσθε εἰς ἄπανλα τὸν μὴ ταῦτα χεῆναν, πότεραν χημάτων αἰσχεῶς ἢ τὰς τῶν ἐχθρῶν πρεσβεύειν ἀπανλας πρασπκὰ, ἢ πρᾶκα ἢ τὰς ὑμῖν τὰ βέλπισα ἀδωρασδοκήτως. ἀλλὰ μὰ τὰ μὰ τῶν ἄλλων, ὁδενὸς πρασδεῖσθε μάρτυρος· ὡς ὃ τὸν υἱὸν ἔπεμψεν ὁ Φρύνων, κάλεσ μοι τότων τὰς μάρτυρας. ΜΑΡΤΤΡΕΣ. τοῦτον μὰ τοίνυν οὐκ ἔκεινεν Αἰσχίνης, ὅπ τὸν αὑτᾶ παῖδα ἐπ' αἰσχύνη πρὰς Φίλιππον ἔπεμψεν· εἰ δέ πις ὢν ἐφ' ἡλικίας, τὴν ἰδέαν ἑτέρα βελτίων, μὴ πρασδοκῶν τὴν ἐξ ἐκείνης τ ὄψεως ἀσωσίαν, ἰταμώτερον τῷ μὴ ταῦτα ἐχρήσαδο βίῳ, τᾶτον ὡς πεπορνευμένον κέκεικε.

λϛ. Φέρε δὴ πρὶ τ ἐσιάσεως ἃ ἔ ψηφί-

dicium de istis hodie facitis, non: sed et legem sancitis istis in omne aeuum, vtrum propter pecuniam flagitiose legati omnes hostium vtilitatibus seruire debeant, an gratuito et sine corruptelis agere quae vobis sunt vtilissima. ac de ceteris nullo teste vobis est opus: a Phrynone autem missum esse filium vt constet, voca mihi testis. TESTES. hunc igitur non accusauit Aeschines, quod suum filium ad probrum misit ad Philippum: sed si quis adolescens, aliis forma praestantior, non cauens illam ex facie nasci solitam suspicionem, liberius postea vixit, eum impudicitiae accusauit.

§. 32. Verum iam de inuitatione ac decreto vt dicam, faciendum est. parum enim

σματος εἶπω. μικρᾶ γε, ἃ μάλισά με δεῖ πρὸς ὑμᾶς εἰπεῖν, παρῆλθον. τῆς πρώτης ἐκείνης πρεσβείας, γεγράφων τὸ πρόβλημα ἐγὼ, ἐς πάλιν ἐν τῷ δήμῳ, ταῖς ἐκκλησίαις, ἐν αἷς ἐμέλλετε βουλεύσασθαι περὶ τῆς εἰρήνης, οὐδενὸς ὅτε λόγου πω περὶ τούτων, ὅτ' ἀδικήματος ὄντος φανεροῦ, τὸν νόμον ἔθος ποιῶν, καὶ ἐπήνεσα τούτους, καὶ εἰς τὸ πρυτανεῖον ἐκάλεσα· ἐς, νὴ Δί', ἔγωγε καὶ τοὺς παρὰ τοῦ Φιλίππου πρέσβεις ἐξένισα, καὶ πολύ γε, ὦ ἄνδρες Ἀθηναῖοι, λαμπρῶς. ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς, καὶ ἐπὶ τοῖς τοιούτοις ἐκεῖ σεμνυνομένους, ὡς εὐδαίμονας καὶ λαμπρούς, οὕτως ἡγούμην ἐν τούτοις πρῶτος αὐτὸς φανῆναι δεῖν αὐτῶν, καὶ μεγαλοψυχότερος φαίνεσθαι. ταῦτα δὴ παρέξεται νυνὶ οὗτος, λέγων, ὡς αὐτὸς ἐπήνεσεν

abfuit, quin ea primae legationis acta, quae me vobis in primis referre oportet, praeterirem. ego cum ſenatuſconſultum ſcriberem, ac rurſus apud populum, cum quidem iis concionibus, in quibus de pace deliberaturi eratis, nihil dum neque de rationibus istorum, neque de iniuriis conſtaret, conſuetudinis iure vſus, et laudaui istos, et in curiam inuitaui. ac mehercule et Philippi legatos hoſpitio excepi, idque, Athenienſes, omnino ſplendide. nam cum viderem eos illic etiam eam rem gloriae ſibi ducere, vt beatis et ſplendidis, statim duxi me primum eis ſuperiorem eſſe oportere, et magnificentia antecellere. ea igitur iste nunc afferet et recenſebit: ipſe, inquiet, laudauit nos, et ipſe legatos conviuio

ἡμᾶς, ἢ αὐτὸς εἰσία τὰς πρέσβεις· τὸ πότε, ἀ διοείζων. ἔστι ᾗ ταῦτα πρὸ τὴν πόλιν ἠδικῆθαί τι, καὶ ὕστερὰς τούτοις πεπραχότας αὐτὰς χρέαν· ὅτε ἄρα μὴ ἦκον ἡ πρέσβεις τὸ πρῶτον, ἀκοῦσαι ᾗ ἔδει τὸν δῆμον τί λέγουσιν, ἀδέπω ᾗ ἔθ' ὅστ' σωτερῶν δῆλον ἦν τῷ Φιλοκράτει, ὅτ' ἐκεῖνον τοιαῦτα γράψων. ἂν δὴ ταῦτα λέγῃ, μέμνησθε τὰς χάρις, ὅτι τῶν ἀδικημάτων εἰσὶ πρότερα. μὴ ταῦτα δὲ, ἀδὲν ἐμοὶ πρὸς τούτους οἰκεῖον, ἀδὲ κοινὸν γέγονε. λέξε τὴν μαρτυρίαν. ΜΑΡΤΥΡΙΑ.

λγ. Ἴσως τίνων ἀδελφὸς αὐτῷ σωτερεῖ Φιλοχάρης, καὶ Ἀφόβητος· πρὸς ὃς ἀμφοτέρας ὑμῖν πολλὰ ἢ δίκαια ἐστιν εἰπεῖν. ἀνάγκη ᾗ, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ παῤῥησίας διαλεχθῆναι, μηδὲν ὑποσελλόμενον. ἡμεῖς, Ἀφό-

viuio excepit; neque tempus illius facti distinguet. facta autem illa ſunt, antequam reſpublica quicquam detrimenti cepiſſet, antequam palam factum eſſet, istos ſe vendidiſſe: cum legati primum recens adveniſſent, et populo audiendum eſſet quid dicerent: cum nondum vel istum patrocinari Philocrati, vel illum talia eſſe decreturum, constaret. ſi igitur talia dixerit, mementote temporum, quae iniuriis anteceſſerunt. post autem nulla mihi cum istis familiaritas aut ſocietas interceſſit. recita testimonium. TESTIMONIVM.

§. 33. Fortaſſis autem frater ei patrocinabitur Philochares et Aphobetus, quorum vtrique multa et aequa reſpondere poteritis. neceſſe autem est, Athenienſes, libere loqui, nihilque

ὄντε, καὶ σὺ, Φιλόχαρες, ἴσμεν σὲ μὲν τὰς ἀλαβαστροθήκας γεγράφοντα, καὶ τὰ τύμπανα, τούτους δ' γραμματέας, καὶ τοὺς τυχόντας ἀνθρώπους. ἀλλ' ἀδεμιᾶς κακίας ταῦτα· ἀλλ' οὐδὲ σεμνότητός γε ἄξια. πρεσβειῶν, στρατηγιῶν, τῶν μεγίστων πεμφθῆναι ἠξιώσαμεν. εἰ τοίνυν μηδὲν ὑμῶν ἠδίκηκε μηδεὶς, οὐχ ἡμεῖς χάριν ὑμῖν ὀφείλομεν, ἀλλ' ὑμεῖς ἡμῖν δικαίως ἂν ἔχοιτε τούτων. πολλοὺς γὰρ ὑμῶν μᾶλλον ἀξίους παρήκαμεν παρέντες ἡμεῖς ὑμᾶς ἐτιμήσαμεν. εἰ δ' ἦν καὶ ἐν αὐτοῖς οἷς ἐτιμήσατε, ἠδίκηκέ τις ὑμῶν, καὶ ταῦτα τοιαῦτα, πόσῳ μᾶλλον ἂν μισοῖσθε δικαίως, ἢ σώζοισθε; ἐγὼ μὲν οἶμαι πολλῷ. βιάσονται τοίνυν ἴσως, μεγαλόφωνοι καὶ ἀναιδεῖς ὄντες, καὶ τὸ, συγγνώμη ἀδελφῷ βοηθεῖν, προσειληφότες. ὑμεῖς δὲ μὴ πάθητε,

que dissimulare. nos, Aphobete, et tu, Philochares, scimus te quidem alabastrothecas pingere solitum, et tympana, istos vero notarios et vulgaris fuisse homines. atque haec vt ab omni sunt improbitate remota, sic neque imperii dignitatem merentur. legationibus, imperiis, maximis honoribus vos ornauimus. quod si nemo vestrum quicquam delinqueret, non nos merito vobis vllo nomine, sed vos nobis de his iure gratiam haberetis. multis enim honore quam vos dignioribus praeteritis, vos extulimus. sed si quis vestrum in illis ipsis, qui vobis habebantur, honoribus deliquit, idque tanta in re, quanto magis odio, quam conservatione digni estis? multo equidem opinor. vim autem fortasse facient, vt homines vocales et impudentes, atque illa re freti: non vitio vertendum, fratri opitulari. vos autem

ἐκεῖνο ἐνθυμέμθοι, ὅτι τούτοις μθὴ, τούτου
ϖροσήκ θ φροντίζειν· ὑμῖν ἢ, τῶν νόμων, καὶ ὅλης
τ πόλεως, καὶ ϖᾶσι πάντα, τῶν ὅρκων, ὃς αὐτοὶ
κάθησθε ὀμωμοκότες. καὶ γὰ εἴ τινων δεδέωθ)
τοῦτο σώζειν, πότερ', ἂν μηδὲν ἀδικῶν φαίνη)
τὴν πόλιν, ἢ κἂν ἀδικῶν, σκοπεῖτε. εἰ μθὴ γὰρ
μὴ ἀδικῶν, κἀγὼ φημὶ δεῖν· εἰ δ' ὅλως κἂν
ὁτιοῦν, ἀποχεῖν δεδέην). ὃ γὰρ εἰ κρύβδην
ἐστὶν ἡ ψῆφος, λήσ θ τὸς θεούς· ἀλλὰ καὶ τοῦτο,
ὃ ϖάντων ἄριστα ὁ τιθεὶς τὸν νόμον εἶδε, τὸ
ΚΡΥΒΔΗΝ ΨΗΦΙΖΕΣΘΑΙ. διὰ τί; ὅτι τούτων
μθὴ ἀδεὶς εἴσε) τὸν ἑαυτῷ κεχαρισμένον ὑ-
μῶν· ④ θεοὶ ἢ εἴσονται καὶ τὸ δαιμόνιον, τὸν
μὴ τὰ δίκαια ψηφισάμθενον. ϖαρ' ὧν κρεῖττόν
ἐστιν ἑκάστῳ τὰς ἀγαθὰς ἐλπίδας τοῖς ϖαισὶ
καὶ ἑαυτῷ, τὰ δίκαια γνόντα καὶ τὰ ϖροσήκοντα,

autem nolite ſuccumbere, illud cogitantes, conuenire illis, vt istum curent: vobis, vt leges et totam rempublicam, et praeter omnia, iuſiurandum, quo dato ad iudicandum ſedetis. quod ſi rogarunt vestrum aliquos, vt illum ſeruaretis, illud conſiderate, vtrum ita rogarint, ſi inſons reperiretur, an, ſi in rempublicam iniurius. ſi inſons, et ego cenſeo: ſin omnino, quicquid deliquiſſet, id rogarunt, vt nullum periurium recuſaretis. non enim ſi occulta ſuffragia ſunt, latebunt deos: ſed et hoc vidit, et omnium rectiſſime prouidit legiſlator, VT CLAM SVFFRAGIA FERRENTVR. cur? vt nemo reorum ſciret, quis ei eſſet gratificatus: ſed dii ſcirent, et numen, eum qui iniqua pronunciaſſet. a quibus praestabilius est, ſingulos ſibi et liberis, iusta quae ſunt pronunciando, ſpem bonam reſeruare, quam ob-

πεποιήσαις, ἢ τὴν ἀφανῆ καὶ ἄδηλον χάριν τούτοις καταθέσις, καὶ ἀφεῖναι τοῦτον, ὃς αὐτὸς ἑαυτῷ καταμεμαρτύρηκε.

λδ. Τίνα γὰρ, Αἰσχίνη, μάρτυρα μείζω δύναιμαι σοῦ πολλὰ καὶ δεινὰ πεπρεσβευκέναι σοι, ἢ σε σαυτοῦ; ὃς γὰρ ᾠήθης χρῆναι τὸν φαυλότερόν τι ποιῆσαι βουληθέντα τῶν σοὶ πεπρεσβευμένων, τηλικαύτῃ καὶ τοιαύτῃ συμφορᾷ περιβαλεῖν, δῆλον ὅτι δεινὸν ἄν τι παθεῖν σαυτὸν ἤλπιζες, εἰ πύθοιντ' ἔτοι τὰ πεπραγμένα σοι. τοῦτο τοίνυν, ἄνδρες ὑμεῖς δὴ φρονῆτε, καθ' αὑτοῦ συμβήσεσθαι τούτῳ πεπρᾶχθαι, οὐ μόνον καὶ τοῦθ', ὅτι παμμέγεθες σημεῖόν ἐστι τῶν πεπρεσβευμένων· ἀλλ' ὅτι καὶ κατηγορῶν, ἐκείνοις τοὺς λόγους εἶπεν, οἳ κατ' αὐτοῦ νυνὶ κεκράξονται. ἃ γὰρ ὠφέλησε σὺ δίκαια,

obſcuram et incertam gratiam istorum captare, et abſoluere istum, qui in ſe ipſe dixit teſtimonium.

§. 34. Quo enim alio maiore teſte probem, Aeſchine, te multa, et non ferenda in legatione deſignaſſe, quam te teſte contra teipſum? quod enim eum, qui aliquid eorum quae in legatione egisti, palam facere voluit, in tantam et talem calamitatem coniiciendum eſſe cenſuisti, ex eo conſtat, peſſime tecum actum iri te putaſſe, ſi tua facinora iudices comperiſſent. illud igitur eius factum in eius fraudem, ſi ſapitis, eſſe factum intelligetis, non eo duntaxat, quod ingens ſignum eſt, qua ratione legationem obierit: ſed quod in accuſando, ea verba protulit, quae nunc in eum poſſint

retor-

ὅτε Τίμαρχον ἔκεινες, ταῦτα δήπου ταὐτὰ καὶ κ᾽ σοῦ προσήκ᾽ τοῖς ἄλλοις ἰσχύειν. ἔλεξε τοίνυν τότε πρὸς τὺς δικασὰς, ὅτι ἀπολογήσε᾽ δὲ Δημοσθένης ὑπὲρ αὐτ᾽, καὶ κατηγορήσ᾽ τῶν ἐμοὶ πεπρεσβευμένων· εἶτα ἂν ὑμᾶς ἀπαγάγῃ τῷ λόγῳ, νεανιεύσεται, κ᾽ πολλὰ ἐρεῖ, πῶς; τί; τὺς δικασὰς ἀπαγαγὼν ἀπὸ τ᾽ ὑποθέσεως, ᾠχόμην τὸ πρᾶγμα αὐτῶν ὑφελόμενο. μὴ σύ γε· ἀλλ᾽ ὑπὲρ ὧν ἀγωνίζῃ, ὑπὲρ τούτων ἀπολογ᾽. τότε γ᾽, ἡνίκα ἐκεῖνον ἔκεινες, ἐξὴν σοι καθηγορεῖν κ᾽ λέγειν ὅ, τι ἐβούλ᾽.

λε. Αλλὰ μὴν, κ᾽ ἐπὶ τοῖς δικασαῖς ἔλεγες, ἀδένα μάρτυρα ἔχων, ἐφ᾽ οἷς ἔκεινες τὸν ἄνθρωπον, πλαχέα᾽,

Φήμη δ᾽ ἔτις πάμπαν ἀπόλλυ᾽, ἥν τινα πολλοὶ

retorqueri. quod enim ius accuſando Timarcho conſtituiſti, idem etiam ab aliis vſurpatum in te valere debebit. tum autem dicebat ad iudices, defendet eum Demoſthenes, et meam legationem accuſabit: et, ſi vos a cauſa abduxerit, ſtrenue declamitabit, et paſſim iactabit; quomodo? quid? abduxi a cauſa, iudices, et ſurrepto eis negocio abii. nequaquam vero: ſed quibus de rebus controuerſia eſt, ad eas reſpondeto. tum igitur, cum illum accuſares, criminari tibi et dicere licebat, quicquid libebat.

§. 35. Quin et ad iudices dicebas te, qui nullum actionis tuae teſtem haberes, ipſum hominem exhibere,

Quam populi ſermo creber
ciet, irrita nunquam

Λαοὶ φημίζωσι· θεός νυ τὶς ἐστὶ καὶ αὐτή.

ἀκουῶ, Αἰσχίνη, καὶ σὲ πάντες ἔτοι χρήματα ἐκ τ̃ πρεσβείας φασὶν εἰληφέναι· ὥστε κ τ̃ σὲ δήπουθεν

Φήμη δ' ἔστις πάμπαν ἀπόλλυτ', ἤν τινα πολλοὶ
Λαοὶ φημίζωσιν.

ὅσῳ γὰρ αὖ σε πλείους ἢ ἐκεῖνον αἰτιῶνται, σκέψασθον ὡς ἔχει. τὸν μὲν Τίμαρχον, ὃν ἅπαντες ἐπίστανται πονηρόν· ὑμᾶς δὲ τοὺς πρέσβεις, οὐδεὶς Ἑλλήνων, οὐδὲ βαρβάρων ἔστ' ὅστις οὐ φησι χρήματα ἐκ τ̃ πρεσβείας εἰληφέναι. ὥσ' εἴπερ ἀληθὴς ἡ φήμη, καθ' ὑμῶν ἐστιν ἡ μᾶλλον τῶν πολλῶν. ἦν ὅτι πιστὴν εἶναι δεῖ, καὶ θεός νυ τὶς ἐστὶ κ αὐτὴ, καὶ ὅτι

Fama cadit penitus: dea quaedam cum ſit et ipſa.

atqui et te, Aeſchine, hi omnes dicunt ex legatione accepiſſe pecuniam; itaque in te quoque illud profecto valet

Quam populi ſermo creber ciet, irrita nunquam
Fama cadit penitus.

nam quod te longe plures quam illum criminantur, id cuiuſmodi ſit, conſidera. Timarchum, ne finitimi quidem omnes norant: vos autem legatos, nemo vel Graecorum, vel Barbarorum est, qui pecuniam accepiſſe ex legatione non dicat. quare ſi fama verax est, contra vos etiam valet vulgaris ille rumor. cui fidem eſſe habendam, quaedam dea cum ſit et ipſa, et ſapientem fuiſſe

σοφὸς ἦν ὁ ποιητὴς ὁ ταῦτα ποιήσας, σὺ διώρισας αὐτός.

λς. Ετι τοίνυν ἰαμβεῖα δήπου συλλέξας ἐπέρχαινεν· οἷον,

Ος τις δ' ὁμιλῶν ἥδε κακοῖς ἀνὴρ,
Οὐ πώποτ' ἠρώτησα· γιγνώσκων, ὅτι
Τοιοῦτός ἐστιν οἷς περ ἥδε ξυνών.

εἶτα τὸν εἰς τὰς ὄρνις εἰσιόντα, καὶ μὴ Πιτταλάκου βαδίζοντα, καὶ τοιαῦτ' εἰπὼν, ἀγνοεῖτ', ἔφη, ποῖόν τινα ἡγεῖσθαι δεῖ; ὑκᾶν, Αἰσχίνη, ἃ καὶ σοὶ τὰ ἰαμβεῖα ταῦθ' ἁρμόσει νυνὶ ἐμοί· κἂν ἐγὼ λέγω πρὸς τούτους, ὀρθῶς ἃ προσηκόντως ἐρῶ. ὅστις δ' ὁμιλῶν ἥδε, καὶ ταὐτὰ πρεσβεύων Φιλοκράτει, οὐ πώποτ' ἠρώτησα, γιγνώσκων, ὅτι ἀργύριον εἴληφεν ἐπὶ τοῦτ', ὥσπερ Φιλοκράτης ὁ ὁμολογῶν·

fuiſſe poetam verſuum auctorem, tu ipſe definiisti.

§. 36. Praeterea collegit iambos, ſi diis placet, et prolixe recitauit: veluti,

Mala improborum conſuetudo
cui placet,
Is qui ſiet vir, non rogo:
ſciens ſatis
Sodalium illum conuenire moribus.

eum igitur qui ad gallos gallinaceos ingreditur, et cum Pittalaco obambulat, et eius generis alia cum dixiſſet, ignoratis, inquit, cuiuſmodi ſit exiſtimandus; proinde et in te iambi isti mihi nunc erunt opportuni, Aeſchine: quos ſi ad iudices dicam, recte conuenienterque dicam. cui conſuetudo placet Philocratis, et eadem obeundae legationis ratio, de eo nihil rogo, pecuniam eum accepiſſe ſciens, vt Philocratem, qui confitetur.

λζ. Λογογεάφυς τίνων ἢ σοφισὰς ἀποκαλῶν τὰς ἄλλας, καὶ ὑβρίζειν πειρώμενος, αὐτὸς ἐξελεγχθήσεται τούτοις ὢν ἔνοχος. ταῦτα μὲν γὰρ τὰ ἰαμβεῖα ἐκ Φοίνικός ἐστιν Εὐριπίδου. τοῦτο γὰρ τὸ δρᾶμα, ὅτε μὲν Θεόδωρος, ὅτε δὲ Ἀριστόδημος ὑποκρίνεται, οἷς οὐδεὶς τὰ τοιαῦτα λέγων διελέλεσται, ἀλλὰ Μόλων ἠγωνίζετο, καί εἴ δή τις ἄλλος τῶν παλαιῶν ὑποκριτῶν. Ἀντιγόνην γὰρ Σοφοκλέους, πολλάκις μὲν Θεόδωρος, πολλάκις γὰρ Ἀριστόδημος ὑποκέκριται, ἐν ᾗ πεποιημένα ἰαμβεῖα καλῶς καὶ συμφερόντως ὑμῖν πολλάκις οὐδεὶς εἰρηκώς, ἢ ἀκριβῶς ἐξεπίστατο, παρέλιπεν. ἴστε γὰρ δήπου τοῦθ', ὅτι ἐν πᾶσι τοῖς δράμασι τοῖς τραγικοῖς, ἐξαίρετόν ἐστιν, ὥσπερ γέρας τι, τοῖς τελαγωνισταῖς, τὸ,

§. 37. Cum autem orationum ſcriptores et ſophistas alios cognominet, atque exagitare studeat, eum ipſum talem eſſe constabit. hi enim iambi e Phoenice ſunt Euripidis. quam fabulam nunquam vel Theodorus, vel Aristodemus egit, apud quos iste tertias partis actitauit, ſed Molo repraeſentauit, et quiſpiam fortaſſis alius veterum histrionum: Antigonam autem Sophoclis ſaepe Theodorus, ſaepe Aristodemus egit, in qua factos iambos praeclare et vobis vtiliter, quos ſaepe iste recitauit, et in promptu habet, praetermiſit. nostis enim hoc ſcilicet, in omnibus fabulis tragicis, eximium veluti praemivm virtutis hoc eſſe tertianis actoribus, vt tyrannorum habitu et ſceptra gerentes in ſcenam ingrediantur. eos igitur iambos in ea fabula conſiderate, qualis

poeta

τὸς τυράννους, ἢ τὸς τὰ σκῆπτρα ἔχοντας εἰσιένας. ταῦτα τοίνυν ἐν τῷ δράματι τούτῳ σκέψασθε, ὁ Κρέων Αἰσχίνης οἷα λέγων ποιῇ τῷ ποιητῇ· ἃ ὅτε πρὸς αὐτὸν οὐκ ἐπῄει τῆς πρεσβείας διελέχθη, ὅτε πρὸς τὸς δικασὰς εἶπε. λέγε.

ΙΑΜΒΕΙΑ ΣΟΦΟΚΛΕΟΥΣ ΕΞ ΑΝΤΙΓΟΝΗΣ.

Ἀμήχανον ὃ πᾶν τὸς ἀνδρὸς ἐκμαθεῖν
Ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
Ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ.
Ἐμοὶ γὰρ, ὅς τις πᾶσαν εὐθυνῶν πόλιν,
Μὴ τῶν ἀρίστων ἅπτεται βουλευμάτων,
Ἀλλ' ἐκ φόβου τι γλῶσσαν ἐγκλείσας ἔχῃ,
Κάκιστος εἶναι νῦν τε κ πάλαι δοκεῖ.
Καὶ μεῖζον' ὅστις ἀντὶ τ αὑτοῦ πατρὸς
Φίλον νομίζῃ, τοῦτον οὐδαμοῦ λέγω.

poeta Aeſchini Creonti recitandos tribuerit: quos iste nec ſibi ipſi dixit in legatione, neque iudicibus recitauit. recita.

IAMBI SOPHOCLIS EX ANTIGONA.

Pernoſſe mentem nullius queas viri,
Tacitoſue ſenſus pectoris deprendere,
Diu antequam verſetur in republica,
Nam quiſquis vrbi, cuius imperium gerit,
Metu ſubactus ora degeneri tenens,
Mutamque linguam, haud conſulit ſalubriter,
Culpandus est et hoc et omni tempore.
Itemque amicum patriae qui praetulit,
Habetor improbus vir, et ciuis malus.

Sed

Εγὼ γὰρ, ἴσω Ζεὺς ὁ πάνθ' ὁρῶν ἀεὶ,
Οὔτ' ἂν σιωπήσαιμι, τὴν ἄτλω ὁρῶν
Στείχουσαν ἀσοῖς ἀντὶ τ σωτηρίας·
Οὔτ' ἂν φίλον ποθ' ἄνδρα δυσμενῆ χθονὸς
Θείμην ἐμαυτῷ, τοῦτο γιγνώσκων, ὅτι
Ηδ' ἐστὶν ἡ σώζουσα, κ ταύτης ἔπι
Πλέονες ὀρθῆς, τοὺς φίλους ποιούμεθα.

τούτων οὐδὲν Αἰσχίνης εἶπε πρὸς αὐτὸν ἐν τῇ πρεσβείᾳ, ἀλλ' ἀντὶ μὲν τ πόλεως, τὴν Φιλίππου ξενίαν, καὶ φιλίαν, πολλῷ μείζονα ἡγήσατο αὑτῷ, κ λυσιτελεστέραν, ἐῤῥῴθη πολλὰ φράσας τῷ σοφῷ Σοφοκλεῖ. τὴν δ' ἄπαν ὁρῶν στείχουσαν ὁμοῦ, τὴν ἐπὶ Φωκέας στρατείαν, ὃ προεῖπεν, οὐδὲ προεξήγγειλεν, ἀλλὰ τἀναντίον, συνέκρυψε, κ συνέπραξε, κ οὐ βουλομένους εἰπεῖν, διεκώλυσεν, οὐκ ἀναμνη-

Sed ipse (magnus idque Iupiter sciat,
Qui cuncta vigili semper lumine aspicit)
Minime tacebo, si quid ingruat mali
Vrbi, vel vitae cum periculo meae:
Nec vrbis huius hostis impius, mihi
Amicus esto; nam considero satis,
Portum salutis patriam esse ciuibus:
Cui dum ventus prosper aspirauerit,
Ex illa amicos nobis eligi decet.

horum nihil sibi proposuit Aeschines in legatione, sed republica neglecta, Philippi hospitium et amicitiam longe pluris aestimauit, sibique vtiliora fore censuit, nihil motus omnino sapientis poetae Sophoclis auctoritate. et cum noxam vna cum expeditione in Phocensis pergere videret, non prae-

θεὶς, ὅπ ἤδ' ἐσὶν ἡ σώζουσα, ⁊ ταύτης ἔπ τελοῦσα μὴ ἡ μήτης αὐτὸ, ⁊ καθαίρουσα, ⁊ καρπουμένη τὰς τῶν χρωμένων οἰκίας, ἐξέθρεψε τοσούτους τοιουτί· διδάσκων δ' ὁ πατὴρ γράμματα, ὡς ἐγὼ τῶν πρεσβυτέρων ἀκούω, πρὸς τῷ Ϝ Ηρωος Ϝ ἰατρῷ, ὅπως ἠδύνατο, ἀλλ' οὐ ἐν ταύτῃ γε ἔζη· ὑπογραμματεύοντες ὄ ἔτοι, ⁊ ὑπηρετοῦντες ἁπάσαις ταῖς ἀρχαῖς, ἀργύριον εἰλήφεσαν, ⁊ τὸ τελευταῖον, ὑφ' ὑμῶν γραμματεῖς χειροτονηθέντες, δύ' ἔτη διετράφησαν ἐν τῇ Θόλῳ· πρεσβεύων δ' ἀπέσταλται οὗτος ἐκ ταύτης. τούτων οὐδὲν ἐσκέψατο, οὔθ' ὅπως ὀρθῇ πλεύσει, προείδετο, ἀλλ' ἀνέτρεψε, καὶ κατέδυσε, καὶ τὸ καθ' αὑτὸν, ὅπως ἐπὶ τοῖς ἐχθροῖς ἔσαι, παρεσκεύασεν. εἶτ' οὐ σὺ σοφιστὴς ⁊ πονηρός γε; οὐ

praedixit, non ante denunciavit, ſed contra, occultauit, et adiuuit, et dicturis obstitit, non recordatus, hanc eſſe portum ſalutis, et in ea initiantem matrem ſuam, et lustrantem, et fruentem eorum, qui eius opera vterentur, opibus, istos tantos viros educaſſe; et patrem ſuum, vt ego e natu maioribus audio, ad Herois medici fanum docentem literas, vt potuerit illum quidem, ſed in hac vrbe vixiſſe tamen; ſe vero et ſuos ſcripturae operam dantis, et omnibus magistratibus inſeruientis, nummos accepiſſe, denique ſcribas a vobis delectos, biennium in Tholo eſſe enutritos; et nunc ſe ex hac vrbe legatum eſſe miſſum. horum nihil conſiderauit, neque vt reipublicae proſper ventus aſpiraret, procurauit, ſed eam euertit, et demerſit, et quantum in ſe fuit, operam dedit, vt in hostium potestatem redigeretur. nonne

tu

σὺ λογογεάφΘ, κὴ θεοῖς ἐχθρός; ὃς, ἃ μὴν πολλάκις ἠγωνίσω κὴ ἀκριβῶς ἐξήπίσασο, ὑπερέβης· ἃ δ' ὐδεπώποτε ἐν τῷ βίῳ ὑπεκείνω, ταῦτα ζητήσας ἐπὶ τῷ τῆς πολιτῆς βλάψαι τινὰ, εἰς μέσον ἤνεγκας;

λη. Φέρε δὴ κὴ περὶ ΣΣόλωνΘ ὃν εἶπε λόγον, σκέψαθε. ἔφη γὰρ τὸν Σόλωνα διὰκεῖσθαι τῶν τότε δημηγορούντων σωφροσύνης θαῦμα, εἶσω τὴν χεῖρα ἔχοντα ἀναβεβλημμένον, ἐπιπλήττων τι κὴ λοιδορούμενος τῇ ΣΤιμάρχε περπελείᾳ. καί τοι τὸν μὲν ἀνδριάντα τοῦτον οὔπω πεντήκοντα ἔτη φασὶν ἀνακεῖσθαι Σαλαμίνιοι· ἀπὸ ΣόλωνΘ δ', ὁμῶς διακόσιά ἐστιν ἔτη κὴ τεσσαράκοντα, εἰς τὸν νυνὶ χρόνον. ὥσθ' ὁ δημιουργὸς, ὁ τοῦτο πλάσας τὸ σχῆμα, οὐ μόνον οὐκ αὐτὸς ἦν καθ' ἐκεῖνον τὸν χρόνον, ἀλλ'

tu igitur literator es, et improbus? nonne tu ſcriptor orationum, et diis inuiſus? qui, quae in ſcena ſaepe recitaras, et memoria probe tenebas, praeterieris: quae vero in tua vita nunquam repraeſentaras, ea exquiſita ad laedendum ciuem quendam, in medium attuleris?

§. 38. Agite vero et de Solone quid dixerit, conſiderate. dixit Solonem dedicatum eſſe in exemplum modestiae oratorum, manum intra vestem tenentem, quo reprehendit et exagitat Timarchi petulantiam. at istam statuam nondum ante annos quinquaginta fuiſſe dedicatam, dicunt Salaminii: a Solone autem omnino ducenti ſunt anni et quadraginta, ad hanc aetatem. quare artifex, qui eum gestum effinxit, non ipſe ſolum eo tempore non fuit, ſed

ὐδ' ὁ πάππος αὐτός. τοῦτο μὲν οὖν εἶπε τοῖς δικασταῖς, καὶ ἐμιμήσατο· ὃ δ' ἔχρημα τοῦ λῷ. τοῦτο πολλῷ τῷ πόλει λυσιτελέστερον, τὸ τὴν ψυχὴν τοῦ Σόλωνος ἰδεῖν, καὶ τὴν διάνοιαν, ταύτην οὐκ ἐμιμήσατο, ἀλλὰ πᾶν τοὐναντίον. ἐκεῖνος μὲν γε, ἀφεστηκὼς Σαλαμῖνος Ἀθηναίων, καὶ θανάτου τὴν ζημίαν ψηφισαμένων, ἂν τις εἴπῃ κομίζεσθαι, τὸν ἴδιον κίνδυνον ὑποθεὶς, ἐλεγεῖα ποιήσας ἦδε, καὶ τὴν μὲν χώραν ἔσωσε τῇ πόλει, τὴν δ' ὑπάρχουσαν αἰσχύνην ἀπήλλαξεν· οὗτος ἦν, ὃν ὁ Βασιλεὺς καὶ πάντες Ἕλληνες ὑμνέουσιν ἔγνωσαν, Ἀμφίπολιν, ταύτην ἐξέδωκε, καὶ ἀπέδοτο, ὃς τῷ ταῦτα γράφοντι συνεῖπε Φιλοκράτει. ἄξιόν γε. οὐ γὰρ ἦν Σόλωνος αὐτῷ μεμνῆσθαι. καὶ οὐ μόνον ἐνταῦθα ταῦτ' ἐποίησεν, ἀλλὰ καὶ ἐκεῖσε ἐλθὼν,

sed nec auus eius. hoc igitur dixit iudicibus, et imitatus est: id autem, quod gestu illo multo esset reipublicae vtilius, vt animus Solonis inspiceretur, et mens, id non est imitatus, sed omnia potius contra fecit. nam ille, cum Salamis desciuisset ab Athenienſibus, et capite sancitum esset, nequis eius recuperandae esset auctor, priuatim periculum sibi depoposcit, et elegiacos versus quos fecerat, cecinit, et prouinciam reipublicae restituit, et susceptum dedecus aboleuit: iste autem, quam rex Persarum, et omnes Graeci vestram esse decreuerunt, Amphipolim, eam tradidit et vendidit, et eius senatusconsulti auctorem defendit Philocratem. praeclare sane. neque enim ei Solonis recordari vacabat. neque id hic so-

ὐδὲ τὄνομα ἐφθέγξαϑ᾽ τ χώρας, ὑπὲρ ἧς ἐπρέσϑευε. ϵ ταῦτα αὐτὸς ἀπήγγειλε πρὸς ὑμᾶς. μέμνησϑε γὰρ δήπου λέγοντ᾽ αὐτὸν, ὅτι περὶ Ἀμφιπόλεως εἶχον μὲν ἐγὼ λέγειν· ἵνα δ᾽ ἐγγένηϑ Δημοσθένει περὶ αὐτῆς εἰπεῖν, παρέλιπον. ἐγὼ γ᾽ παρελθὼν, οὐδὲν ἔφην τούτων ὧν ἐβούλετο εἰπεῖν πρὸς Φίλιππον, ἐμοὶ προσαλιπεῖν· ἅπαν γὰρ ἂν ἔδει ἀπολωλϑ, ἢ λόγου μεταδοῦναί τινι· ἀλλ᾽, οἶμαι, τὸν χρήματ᾽ εἰληφότα, οὐκ ἦν ἀντιλέγειν πρὸς Φίλιππον, τὸν ὑπὲρ τούτου δεδωκότα, ὅπως ἐκείνην μὴ ἀποδῷ. λέγε δή μοι λαβὼν καὶ τὰ τοῦ Σόλωνϑ ἐλεγεῖα ταυτί· ἵν᾽ εἰδῆτε, ὅτι καὶ ὁ Σόλων ἐμοῦ τοῦτ᾽, οἷος ἦν, ἀνϑρώπους. ὁ λέγειν εἴσω τὴν χεῖρα ἔχοντα, Αἰσχίνη, δεῖ, ἀλλὰ προσβούειν εἴσω τὴν χεῖρα ἔχοντα. σὺ δ᾽ ἐπεὶ προσῆλθες, καὶ ὑπο-

lum fecit, sed et illuc cum venisset, ne mentionem quidem fecit eius regionis, propter quam legatus abierat. idque ipse vobis renunciauit. meministis enim profecto dicere eum, de Amphipoli et ego verba facere potuissem; sed vt Demostheni de ea dicendi esset locus, ideo praeterii. ego vero progressus dicebam, eum nihil eorum quae ad Philippum dicere voluisset, mihi reliquisse (facilius enim sanguine, quam dicendi loco cuiquam cedere) sed putasse, accepta pecunia, aduersari Philippo non licere, qui pecuniam ea de causa largitus esset, ne id oppidum redderet. age, cape Solonis elegiam illam, et recita: vt sciatis etiam Soloni homines istius similis fuisse inuisos. non concio habenda est, Aeschine, manu in sinu condita, non: sed obeunda legatio manu in sinu condita. tu vero, cum eam illic porrexeris, et exhibueris, et

hos

χὼν, ἢ καταισχύνας τούτους, ἐνθάδε σεμνολογῇ; ἢ λογάρια δύσλυτα μελετήσας ἢ φωνασκήσας, οὐκ οἴει δίκην δώσειν πηλικούτων ἢ τοσούτων ἀδικημάτων; κἂν πιλίδιον λαβὼν ἐπὶ τὴν κεφαλὴν, ὠθενοῦν, ἢ ἐμοὶ λοιδορῇ. λέγε σύ.

ΕΛΕΓΕΙΑ ΣΟΛΩΝΟΣ.

Ημελέρα ὴ πόλις, κῆ μὴ Διὸς ἔπορ' ὀλεῖται
Αἶσαν, ἢ μακάρων θεῶν φρένας ἀθανάτων.
Τοίη γὰ μεγάθυμος, ἐπίσκοπος, ὀβριμοπάτρη,
Παλλὰς Αθηναίη, χεῖρας ὕπερθεν ἔχει.
Αὐτοὶ ὴ φθείρειν μεγάλην πόλιν ἁρπαλίῃσιν
Ασοὶ βούλονῆ, χήμασι πειθόμενοι,
Δήμυ θ' ἡγεμόνων ἄδικον νόον, οἷσιν ἑτοῖμον
Υβριος ἐκ μεγάλης, ἄλγεα πολλὰ πατεῖν.
Οὐ γὰ ἐπίστανῆ καλέχειν κόρον, ὐδὲ παρούσας
Εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.

hos contumelia affeceris, hic differis magnifice, et propter miseras sententiolas, quas meditatus es, et vocis exercitationem, te poenas esse daturum non putas, tot et tantorum scelerum: etsi pileolo capiti impositio obambularis et in me conuicia dixeris. recita tu.

ELEGIACI VERSVS SOLONIS.

Nostra quidem, fato Iouis, vrbs non occidet vnquam,
Propitiisque diis salua manere potest.
Nam Ioue nata, ferox hastaque atque aegide Pallas
Hanc teget, hostilis disiicietque minas.
Moenia sed ciues stolidi, cupidique lucrorum
Ardua subuerti per sua facta student;
Atque ducum populi mala mens, elataque corda,
Accersunt poenas, et mala multa sibi.
Non etenim placida didicerunt munere diuum

Χρήματα δ' ἰμείρουσιν ἔχειν, ἀδίκως δὲ πεπᾶσ,
Πλουτοῦσι δ' ἀδίκοις ἔργμασι πειθόμενοι,
Οὔθ' ἱερῶν φειδόμενοι, οὔτε τἀ δημοσίων
Φειδόμενοι, κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλοθ',
Οὐδὲ φυλάττον') σεμνὰ δίκης θέμεθλα.
Ἡ σιγῶσα σωφρονίζει τὰ γιγνόμενα, φεύγει δ' ἑκόντα,
Τῷ δ' ὀργῷ πάντως ἦλθ' ἀποπλησαμένη.
Ταῦτ' ἤδη πάσῃ πόλει ἔρχε') ἕλκει ἄφυκτον,
Εἰς ἣ κακὴν ταχέως ἦλυθε δουλοσύνην.
Ἡ στάσιν ἔμφυτον, πόλεμόν θ' ὁδὸν') ἐπεγείρει,
Ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.
Ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
Τρύχε') ἐν στυγεροῖς τοῖς ἀδικοῦσι φίλοις.

Mente frui, ſaturi nec tenuere modum.
Deſpoliant aerarium, et ipſa altaria diuum,
Per fas atque nefas quo cumulentur opes.
Furantur, rapiunt omnes datur vnde, nec iram
Iustitiae curant, ſcitaque ſancta deae.
Illa tacet veterum memor, et praeſentia cernens,
Saeua, ſed ad poenas post ruitura grauis.
Vrbibus hinc vlcus venit immedicabile cunctis,
Vt iuga ſeruitii mox odioſa ferant.
Seditioue oritur, ſopitaue bella moventur,
Bella, quibus pubes laeta perire ſolet.
Vrbs etenim, quae nulla tenet ſocialia iura,
Est ſubito hoſtili diſperitura manu.
Haec agitant populum mala, ſed paupercula turba
Venditur, et peregre vincula dura gerit.
Nec ſunt expertes cladis, quos ampla beat res,

Et

Ταῦτα μὴ ἐν δήμῳ τρέφε) κακά· πῶν ὃ
πενιχρῶν,
Ἰκνεῖ) πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν
Περαθέντες, δεσμοῖσι τ' ἀεικελίοισι δεθέντες.
Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ·
Αὔλειοι δέ τ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
Ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, οὖρε ὃ πάντων,
Εἴ γε τις ἢ φεύγων ἐν μυχῷ, ἢ θαλάμῳ.
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
Ὡς κακὰ πλεῖστα πόλει δυσνομία παρέχει.
Εὐνομία δ' εὔκοσμα, καὶ ἅρπια πάντ' ἀποφαίνει,
Καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιπέδησι πέδας,
Τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυρῖ,
Αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
Εὐθυνει ὃ δίκας σκολιὰς, ὑπερήφανά τ' ἔργα
Πραΰνει, παύει δ' ἔργα δυσοσίης,

Et ſua diuitibus poena luenda venit.
Publica ſic intrant priuatos damna penates;
Excludi foribus nec mala tanta queunt:
Tranſiliunt muros altos, fuga nulla tuetur,
Siue petas thalamum, ſiue ſub antra ruas.
His ego Palladios monitis pius inſtruo ciuis,
Vt ſapiant, vigilent, nil petulanter agant.
Inuehit heu quantas legum violatio clades?
At iuſtae leges commoda quanta ferunt?
Compedibus ſtringunt ſceleratos, ordinis aequi
Conſeruatrices, nil niſi recta ſinunt.
Aſpera complanant, ſedant faſtidia, fraenant
Indomitos, abigunt ſemina quaeque mali,
Iura regunt, manſuefaciunt turgentia corda,

Com-

Παύει δ' ἀρχαλέης ἔριδος χόλον. ἔστι δ' ὑπ' αὐτῆς
Πάντα καὶ ἀνθρώποις ἄρτια, κ᾽ πυκιά.

λθ. Ακούετε, ὦ ἄνδρες Αθηναῖοι, περὶ τῶν τοιούτων ἀνθρώπων, οἷα Σόλων λέγει, καὶ περὶ τῶν θεῶν, ὅς φησι τὴν πόλιν σώζειν. ἐγὼ δ' ἀεὶ μὲν ἀληθῆ τὸν λόγον εἶναι τοῦτον ἡγοῦμαι καὶ βούλομαι, ὡς ἄρα ④ θεοὶ σώζουσιν ἡμῶν τὴν πόλιν· τρόπον δέ τινα ἡγοῦμαι κ᾽ βούλομαι, κ᾽ τὰ νῦν συμβεβηκότα πρῶτα ὑπὲ τοῖς αὐθυναις ταυταισὶ, δαιμονίας τινὸς διανοίας ἔνδειγμα τῇ πόλει γεγονέναι. σκοπεῖτε γάρ. ἀνθρωπος πολλὰ κ᾽ δεινὰ πεπραχὼς, κ᾽ χώρας ἐπιδεδωκὼς, ἐν αἷς οὗτ᾽ θεὸς ὑφ' ὑμῶν κ᾽ τῶν συμμάχων τιμᾶσθαι προσῆκεν, ἠτίμωσεν ὑπαιτίαί τινα αὐτὸν κατήγορον. διὰ τί;

Compescunt miserae seditionis opus,
Iurgia litis acerba premunt, ac denique vitam
Humanam erudiunt, vt sapienter eat.

§. 39. Auditis, Atheniensis, de isto genere hominum Solo quid dicat, et de diis, a quibus vrbem conseruari asserit. ego vero semper hanc orationem veram esse puto, et opto, conseruari vrbem nostram diuinitus: et quodammodo existimo, et sic accipio ea quae nunc acciderunt omnia in accusatione hac, diuinae cuiusdam erga rempublicam beneuolentiae signum exstitisse. idque sic considerate. homo qui multa in legatione, et atrocia scelera designauit, qui prouincias tradidit, in quibus deos a vobis et sociis coli decebat, ignominia notauit quendam,

ἵνα μήτε ἐλέου, μήτε συγγνώμης, ἐφ' οἷς αὐτὸς ἠδίκησε, τύχῃ. ἀλλὰ καὶ κατηγορῶν ἐκεῖνος, κακῶς λέγειν προείλετο ἐμέ· καὶ πάλιν ἐν τῷ δήμῳ γραφὰς ἐποίσειν, καὶ τοιαῦτα ἠπείλει. διὰ τί; ἵνα ὡς μὴ πλείσης συγγνώμης παρ' ὑμῶν, ὁ τὰ τότε πονηρεύματα ἀκριβέσατα εἰδὼς ἐγώ, καὶ παρηκολουθηκὼς ἅπασι, κατηγορῶ. ἀλλὰ καὶ διακρουόμενον πάντα τὸν ἔμπροσθεν χρόνον εἰσελθεῖν, εἰς τοῦτον τὸν καιρὸν, ἐν ᾧ τῶν ἐπιόντων ἕνεκα, εἰ μηδενὸς ἄλλου, οὐκ οἷόν τε, οὐδ' ἀσφαλὲς ὑμῖν, δεδωροδοκηκότα τοῦτον ἀθῷον ἐᾶσαι. ἀεὶ μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, προσήκει μισεῖν, καὶ κολάζειν τοὺς προδότας, καὶ δωροδόκους· μάλιστα δ' νυνὶ ἐπὶ καιροῦ τοῦτο γένοιτ' ἂν, ὃ πάντας ὠφελήσειεν ἀνθρώπους κοινῇ. νόσημα γὰρ, ὦ ἄνδρες Ἀ-

dam, qui eius accuſatorem ſe profiteri non dubitauit. cur? ne ipſe delictorum ſuorum veniam, aut vllam miſericordiam conſequeretur. ſed et illo accuſando in me inuehere inſtituit, et rurſus pro concione accuſationem mihi minitatus est, et eius generis alia. quamobrem? vt optima cum venia apud vos ego, qui ſcelera istius optime noui, et omnia comperta habeo, accuſarem. quin etiam cum omni ſuperiori tempore iudicia eluſerit, in id coniecit ſeſe tempus, in quo ſi non ob aliud, vel propter imminentia pericula, nec licitum, nec tutum vobis est, istum corruptum largitionibus abſoluere. ſemper enim, Athenienſes, odio proſequendi ſunt, et puniendi proditores, et homines corrupti: tum vero nunc id cum primis tempestiue et communi cum vtilitate moi-

